Early Journal Content on JSTOR, Free to Anyone in the World

This article is one of nearly 500,000 scholarly works digitized and made freely available to everyone in the world by JSTOR.

Known as the Early Journal Content, this set of works include research articles, news, letters, and other writings published in more than 200 of the oldest leading academic journals. The works date from the mid-seventeenth to the early twentieth centuries.

We encourage people to read and share the Early Journal Content openly and to tell others that this resource exists. People may post this content online or redistribute in any way for non-commercial purposes.

Read more about Early Journal Content at http://about.jstor.org/participate-jstor/individuals/early-journal-content.

JSTOR is a digital library of academic journals, books, and primary source objects. JSTOR helps people discover, use, and build upon a wide range of content through a powerful research and teaching platform, and preserves this content for future generations. JSTOR is part of ITHAKA, a not-for-profit organization that also includes Ithaka S+R and Portico. For more information about JSTOR, please contact support@jstor.org.

Handſchriftliches.

Unedirte Scholien zu Homer's Ilias.

(Aus Cod. Ven. B.)

Unter den vielen Schätzen, welche Prof. C. G. Cobet von ſeiner Reiſe nach Italien in die Heimath mitgebracht hat, nimmt unſtreitig den erſten Rang ein die von ihm gefertigte neue und ſorgfältige Collation der Codices Veneti des Homer. Den wichtigſten Theil dieſer Collation, welche Cod. A. betrifft, hat er in die Hände die Herrn G. G. Pluygers gegeben, wie er ſie denn beſſeren auch wohl nicht anvertrauen konnte; mir iſt die Benutzung der Collation des Cod. B. durch die ausnehmende Güte des Prof. Cobet zugeſtanden worden, zugleich mit der Erlaubniß, daraus zu veröffentlichen, was ich der Veröffentlichung für würdig hielte. Bloß zur Probe hatte ich meinem verehrten Lehrer, Herrn Prof. Ritſchl, einige hier und dort herausgenommene Scholien zugeſchickt. Er hielt ſie der Aufnahme in dieß Muſeum für würdig und forderte mich zur Fortſetzung meiner Mittheilungen aus denſelben und über dieſelben auf. Dieſer Aufforderung komme ich mit dieſer erſten Sendung unedirter Scholien nach. War das früher Veröffentlichte meiſt von der Art, daß darin gezeigt werden ſollte, wie vielfach Villoiſon durch Flüchtigkeit oder nicht ausreichende Kenntniß der in der Handſchrift vorkommenden Abkürzungen und Zeichen den Text der Scholien verderbt hat, ſo begründen die folgenden Scholien eine andere Anklage. Wo nämlich die Schrift undeutlicher oder kleiner als gewöhnlich war, da hat er lieber das ganze Scholion weglaſſen, als ſich der Mühe der Entzifferung deſſelben unterziehen wollen. Freilich enthalten die ausgelaſſenen Scholien keine Dinge von großem Werthe, ſie ſtehen aber doch auch keineswegs hundert Anderen, die Villoiſon aufgenommen hat, an Werthe nach. Das kann alſo die Urſache der Weglaſſung nicht geweſen ſein. Der Verdacht, daß bloße, ſoll ich ſagen Bequemlichkeit oder Furcht vor der kleinen Schrift, Schuld daran geweſen, wird dadurch erhöht, daß nicht allein ganze Scholien fehlen, ſondern, wie ich ſpäter zeigen werde, daß von manchen bloß die Hälfte mitgetheilt iſt, noch

andere vorn, hinten oder auch wohl selbst in der Mitte mehr oder weniger verstümmelt sind.

Als neuer Beleg für das wenige Geschick, welches Villoison für eine so schwierige Arbeit hatte, mag noch das folgende dienen, das ich als ein curiosum hier mittheile. In dem Scholion zu Il. Σ. 473 steht bei Villoison das folgende: ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιΐας μόνον, ἀλλὰ καὶ δι' ἀδήλων τεκμηρίων ἐπίσταται κυκλοειδῆ. Es gehört nicht viel Scharfsinn dazu, um die richtige Lesart ἄλλων zu finden, selbst wenn diese nicht bei Heraclitus, dem das ganze Scholion entnommen ist, stände (Alleg. Homer. p. 149 ed. Schow). Aber der Fehler selbst ist auch nicht das Interessante, sondern die Art, auf welche er entstanden ist. In dem Codex wurden die Scholien von der ersten Hand mit Buchstaben α, β, γ, Δ u. s. w. bezeichnet, die an dem Rand geschrieben waren. Ursprünglich sah nun die Stelle, an der das Scholion steht, im Cod. so aus:

Λ ∴	τὰ περὶ τῶν ὅπλων, περὶ ὧν καὶ διαλέγεται αὐτῷ.

Später wurde auf dem frei gebliebenen Raum des Randes unser Scholion von einer späteren Hand geschrieben, und das Ganze hatte folgendes Ansehen:

ὅν οὐκ ἀ	
πὸ$^{\tau^2}$ ὁπλοποιΐας	
μόν, ἀλλὰ καὶ	τὰ περὶ τῶν ὅπλων περὶ
δι' ἄΛ ∴ λλων	ὧν καὶ διαλέγεται αὐ-
τ	τῷ
τεκμηρίων ἐπίστα	

woraus denn Villoison ἀδήλων gemacht hat. Derselbe Umstand hat ihn auch an anderen Stellen in die Irre gebracht.

Scholium ad B. 505.

Φίλοι δὲ ἀθηνᾶς οἱ ἕλληνες, οὓς κατὰ σημεῖον ὁ δράκων ἐσήμανεν. ὁ δὲ τῶν στρουθῶν ἀριθμὸς ιῶν ἐτῶν ἐδήλου τὸν ἀριθμόν. ἐτήσιος γὰρ ἡ γένεσις ὄρνισι. καὶ ὀκτὼ μὲν ἔτη ἐν

οἷς ἦσαν ἀπόρθητοι μικρὰ ταῦτα. τὸ δὲ ἔνατον, ἐν ᾧ τὸ τέλος, τὸ κεφάλιον ἄν εἴη τοῦ χρόνου, ὥστε οἰκεία ἡ μήτηρ τῷ χρόνῳ τούτῳ. ἐννέα δὲ καὶ οὐ δέκα ὁ ἀριθμὸς ὅτι τοῦ πολέμου ὁ χρόνος ἀριθμεῖται οὐ τῆς ἁλώσεως. τί γάρ φησιν „ὡς ἡμεῖς τοσαῦτ' ἔτεα πολεμίξομεν αὖθι“ ἐννέα ἔτεα ὧν τὸ ἔνατον τὸ κεφάλαιον περιεῖχε τῶν κακῶν καὶ περιοχῇ τῶν παρελθόντων ὀκτώ. τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν. μετὰ γὰρ τὴν μητέρα τῶν στρουθῶν καὶ τὸ ἔνατον ἔτος ἑτοίμη ἦν ληφθῆναι ἡ νεοττεία καὶ ἡ πόλις ἡ τῶν τρώων· καὶ ἰαχὴ τε τῆς μητρὸς καὶ τῶν τριζόντων νεοττῶν τὴν οἰμωγὴν ἐδήλου τῶν ἁλισκομένων, ἡ δὲ τοῦ δράκοντος ἀπολίθωσις κατὰ μὲν ἀριστοτέλην τὴν βραδυτῆτα ἐδήλου καὶ τὸ σκληρὸν τοῦ πολέμου, κατὰ δὲ ἄλλους τὴν τῆς πόλεως ἐρήμωσιν καὶ τοῦ μὲν ζωτικοῦ παντὸς κένωσιν, τῶν δὲ λίθων καὶ οἰκοδομημάτων κατάλυσιν τῶν τρώων ἁλόντων ἑλλήνων ἀποπλευσάντων. τὸ δὲ δέκατον ἔτος ὅπερ διὰ τοῦ δράκοντος δεκάτου ὄντος ἐν τοῖς σημείοις ἀριθμεῖται λαμβανόμενον τὸ αὐτὸ εἰς μὲν τοὺς ἕλληνας γίνεται λίθος μένων καὶ ἀρίζηλος πᾶσιν διακένωμα ὧν καὶ λίθους μεμνηκέναι τοῦ πολέμου καταλυθέντος. ὥστε τὸν δράκοντα ἐπιόντα μὲν δηλοῦν τὴν ἔφοδον τῶν ἑλλήνων, διὰ δὲ τῆς πλατάνου τῆς (leg. τὴν) διὰ τῶν νεῶν γινομένην. κατεσθίοντα δὲ τοὺς ἐννέα στρουθοὺς μετὰ τῆς μητρὸς σημαίνει (leg. σημαίνειν) τὸν ἐνναετῆ πόλεμον, ἀπολιθούμενον δὲ δέκατον ἐν τοῖς σημείοις αὐτὸν ἐρημίαν δηλοῦν τὴν ἐν τῷ δεκάτῳ ἔτει τῶν ἑλλήνων ἀποστάντων καὶ τῆς πόλεως ἐν λίθοις μόνοις καταλειφθείσης, παντὸς τε τοῦ ἐμψύχου ἔκ τε αὐτῆς καὶ τῶν περὶ αὐτὴν καθημένων κενωθέντος· ἐμήνυε δὲ ἡ εἰς παράδοξον καὶ θαυμαστὸν μεταβολὴ τὴν τῶν κατειργασμένων ἐπὶ πλεῖστον μνήμην. ἡ δὲ ἕδρα τῶν ὀρνίθων καὶ ἡ ἐν τῇ νεοττείᾳ τῶν στρουθῶν καθέδρα ἐδήλου τοὺς ἐνδομυχοῦντας καὶ ἐν τῇ πόλει κατακλείσους τρῶας. οἱ δὲ βεβαιότερον φασὶν εἶναι τὰ διὰ τῶν καθεδρῶν ἢ ὅσα πετόμενοι σημαίνουσιν ὄρνιθες. ὥσπερ γὰρ πετόμενοι μηνύουσιν ταχύτερον [τ] οὕτω πάντα ἔσεσθαι, [τ] καθεζόμενοι ποιοῦσι χρόνια καὶ παράμονα.

τὸ δὲ καὶ περιπέτεσθαι τὴν νεοττιὰν τὴν μητέρα ἀεὶ καὶ μὴ πόρρω ἀποχωρεῖν ἐδήλου, ὅτι καὶ οἱ ἐκ τῆς πόλεως ἐξιόντες αὐτόθι περὶ τὴν πόλιν καὶ οὐ πόρρω χωρεῖν ἔμελλον ἀλλὰ ζῆν περὶ αὐτὴν χρειοῖ ἀναγκαίη πρό τε παίδων καὶ προ γυναικῶν. τὴν δὲ νεοττιὰν οὐ διέφθειρεν ὁ δράκων ὅτι οὐκ ἐξειλίῃ τέλος (leg. ἐξελείφθη τελέως aut simile quid) ἡ πόλις ἀλλα μόνον οἱ ἐνοικοῦντες, αὐτῆς μὲν μενούσης τῶν δ' ἐπελθόντων μετὰ τὴν ἀναχώρησιν καὶ πόρθησιν ἐρημίαν φοβερὰν καταλελοιπότων. καὶ πάντα εἰς λίθους περιςησάντων διὰ τὸ ἄπορον καὶ ἄψυχον τῆς χώρας ἐγκατάλειμμ καὶ τ πολ' ἅμα δὲ καὶ ὅτι ἡ ἀποστροφὴ τοῖς ἕλλησιν ἀντιτυπὴς ἐστὶ καὶ σκληρὰ ἐδήλε ὁ ἀπολιθούμενος δράκων. ἀπαλλάσσεσθαι γὰρ μέλλων ἤδη τῆς νεοττείας ἐγένετο λίθος καὶ ἐπὶ τῆς ὁδοῦ ἔτι ὤν. τὸ δὲ δένδρον οὖν ἡ ὁδός. ἀλλὰ καὶ ἡ πορεία τοῦ δράκοντος οὐκ οὖσα ὀρθὴ φύσει οὐδὲ εὐθεῖαν τὴν ὁδὸν τοῖς ἕλλησιν ἐσήμαινεν. ὁποία ἐγένετο καὶ αὐτοῖς ἀπιοῦσί τε καὶ ἀποςρέφουσιν. οὐδὲ τὸ ἐλελιξάμενος πτέρυγος λάβεν ἐστὶν ὡς πρὸς μαντείαν ἄχρηςον. ἐδήλου δὲ τὸν τρόπον καθ' ὃν τὴν Ἴλιον ἔμελλον ἐκπορθήσειν οἱ ἕλληνες. οὐ γὰρ ἐκ τοῦ εὐθέος ἐκράτησαν καὶ εἶλον ἀλλ' ἀναχθέντες ἀπὸ τῆς τρωάδος εἶθ' ὑποστρέψαντες ὃ ἐστὶν εἰπεῖν ἐλελιξάμενοι. ἡ δὲ πλάτανος διὰ μὲν τὸ ὑδρηλὸν καὶ εὔμηκες ἐδήλου τὴν διὰ νεῶν καὶ ὕδατος μακρὰν πορείαν, διὰ δὲ τὸ ἄκαρπον φύσει, ὅτι ἄκαρπος ἡ πορεία καὶ τοῖς ἐπελθοῦσιν ἕλλησιν καὶ τοῖς ἐνοικοῦσι τὴν πλάτανον τῶν τρώων. τά τε γὰρ ληφθέντα λάφυρα ἐξ ἰλίου ἄλλα ἄλλως ἀπώλετο καὶ οἱ τρῶες οὐδένα κάρπον ἔσχον μεινάσης αὐτοῖς τῆς νεοττιᾶς ἐν ἀκάρπῳ μὲν δένδρῳ φύλλοις δὲ πρὸς καιρὸν θάλλουσιν αὐτοὶ ἄρδην ἀπολόμενοι.

Cf. Waffenbergh p. 267. Schol. in v. 311; Bekker, Schol. in v. 308.

(Wird fortgeſetzt.)

E. Mehler.